TEZAUR LITURGIC

30 APRILIE

# SLUJBA SF.MUCENIȚE ARGHIRA DE LA CONSTANTINOPOL

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 30 ΑΠΡΙΛΙΟΣ
# ΑΡΓΥΡΗ ΝΕΟΜΑΡΤΥΣ ΠΡΟΥΣΣΗΣ
# ΑΚΟΛΟΥΘΙΑ

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ᾽ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ᾽. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Γυναικείῳ μὲν σώματι, ἀνδρικῷ δὲ φρονήματι, ἀνδρικὰ διήνυσας ἀγωνίσματα, ἀνδρῶν ἐν μέσῳ οἰκήσασα, καὶ πάθη νεκρώσασα, ἐν ζοφώδει τῇ εἱρκτῇ, καὶ τυράννους αἰσχύνασα, καρτερίᾳ σου, Ἀργυρῆ, ταῖς φρικταῖς σου δὲ βασάνοις, τὸν μολύναι σε ζητοῦντα, δεινὸν ἐχθρόν σου κατήσχυνας. *(Δίς)*

Τοῦ ἐχθροῦ μηχανήματα, ὡς ἀράχνας διέλυσας, Ἀργυρῆ πανθαύμαστε καὶ ἀνίσχυρον, αὐτοῦ τὸ κράτος ὑπέδειξας, δυνάμει τοῦ Πνεύματος, καὶ ἀμόλυντον ἀεί, σεαυτὴν διετήρησας· διὰ τοῦτό σε, εἰς θαλάμους φωτὸς τοῦ ἀνεσπέρου, κατηξίωσεν ὁ Κτίστης, καὶ στέφει θείῳ ἐκόσμησε. *(Δίς)*

Τυραννῶν σε ὁ τύραννος, Ἀργυρῆ κατηνάγκαζε, τὸν Χριστὸν ἀρνήσασθαι τὴν ζωὴν ἡμῶν· ἀλλὰ σὺ ὄντως κατέπτηξας, βασάνους τοῦ σώματος, καὶ ἀπήλαυσας σεμνή, εὐφροσύνην οὐράνιον· ὅθεν ἅπαντες, μετὰ πόθου τιμῶντες προσκυνοῦμεν, τὸ πολύαθλόν σου σκῆνος, καὶ τὸν Σωτῆρα δοξάζομεν.

Καὶ τὰ μέλη τοῦ σώματος, στρεβλουμένη θεόσοφε, καὶ τὸν σάλον ἅπαντα ὑπομένουσα, δεινῶν βασάνων καὶ θλίψεων, εἱρκτῶν καὶ κακώσεων, οὐκ ἠρνήθης τὸν Χριστόν, ἀλλ’ Αὐτὸν ἀνεκήρυξας, Θεὸν δίκαιον· ὅθεν Μάρτυς ἠξίωσαι τῆς ἄνω, Βασιλείας καὶ τοῦ κάλλους, ἔνθα τὸ φῶς τὸ ἀνέσπερον.

*Δόξα. Ἦχος β΄.*

Τῶν αἱμάτων σου τοῖς ῥείθροις, Ἀργυρῇ ἀξιάγαστε, διηνεκῶς ἐργάζῃ, ἀσεβείας μὲν ποντισμόν, τῆς δὲ εὐσεβείας ἀρδεύεις τὰς ἀρούρας, αὐξάνουσα ἐν αὐταῖς τὸν στάχυν τῆς πίστεως· διὰ τοῦτο παραδόξως, καὶ μετὰ θάνατον ὤφθης, διὰ τοῦ ἀθλητικωτάτου σου σκήνους, νεφέλη πηγάζουσα ὄμβρους τῶν ἰαμάτων. Πρέσβευε τοίνυν τῷ ἐκ νεκρῶν ἀναστάντι Σωτῆρι Θεῷ, καὶ ἡμᾶς κατὰ τῶν τῆς πίστεως ἐχθρῶν ἐνισχύσαι, καὶ δωρήσασθαι πᾶσι τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.*
*Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ, λα', λα΄. 10. -20, 25)*

Γυναῖκα ἀνδρείαν τὶς εὑρήσει; τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις.

Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

*Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΜΓ΄ 9-14)*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ΄.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Σοφίας τῆς ἄνωθεν, Χριστοῦ τοῦ Θεοῦ, ἐμφορουμένη πλουσίως, ἡ ἔμφρων καὶ ἐκλεκτὴ Ἀθληφόρος Ἀργυρῆ, κατήσχυνεν ἄρδην τυραννούντων τὰ φρυάγματα, ἀσέλγειαν κτηνώδη, θωπείαν τὴν ἄμετρον, καὶ μιαρὰς αὐτῶν ὑποσχέσεις. Καὶ ἀθλητικῶς τούτους εἰς τέλος κατέβαλε, ῥητορεύουσα θεία διδάγματα. Καὶ νῦν ἐν οὐρανοῖς ταῖς Ἀθληφόροις συγχορεύουσα, πρέσβευε Ἀργυρῆ, τῷ Σωτῆρι καὶ Θεῷ, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

*Ἦχος δ΄.*

Ἰσχύϊ παρὰ Χριστοῦ ῥωσθεῖσα, θεόφρον Ἀργυρῆ, καὶ θεοπνεύστου σοφίας πλησθεῖσα, ἔστης πρὸ τοῦ βήματος γγενναίως, τοῖς τυραννοῦσιν ἀνθισταμένη. Καὶ τὸν μὲν νόμιμον σύνευνόν σου τιμῶσα, τὸν δὲ Ἰησοῦν ὡς Θεὸν ἀφόβως κηρύττουσα, παρὰ τῶν ἀπίστων ὑπέστης ἀνυποίστους βασάνους καὶ πολυχρόνιον κάθειρξιν. Πρέσβευε τοίνυν Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν πίστει τελούντων, τὴν μακαρίαν σου ἄθλησιν.

*Ἦχος πλ. α΄.*

Ἀθλητικὴν πανήγυριν δεῦτε σήμερον πιστοί, εὐλαβῶς ἐπιτελέσωμεν, εὐχαριστοῦντες ᾠδαῖς πνευματικαῖς, τὸν θαυμαστὸν ἐν Μάρτυσι Κύριον καὶ Θεὸν ἡμῶν. Τὸ φρικτὸν γὰρ κράτος τῆς ἀσεβοῦς δυναστείας, ἐν γυναικείᾳ φύσει οὗτος κατηγωνίσατο, καὶ τὴν ἑαυτοῦ θείαν δύναμιν, ἐν ἀσθενείᾳ ἐπλήρωσεν, Ἀργυρῆς τῆς καλλιμάρτυρος. Ταῖς αὐτῆς οὖν πρεσβείαις σῶσον, Θεὲ παντοδύναμε, τοὺς σὲ πιστῶς λατρεύοντας, καὶ εὐλαβῶς ἐκτελοῦντας, μνήμην αὐτῆς τὴν πανσέβαστον.

*Ἦχος πλ. β΄.*

Ῥωμαλαιότητι νοός, εὐθαρσῶς καὶ ἀνδρείως κατήσχυνας, Ἀργυρῆ πανεύφημε Μάρτυς, τοὺς τῆς ψευδοῦς γνώσεως τῷ βυθῷ κυλινδουμένους τυράννους, ῥητορεύουσα σαφῶς ἐν ζοφώδει τῇ εἱρκτῇ θεογνωσίας θεῖα δόγματα· δι᾿ ὃ καὶ δικαίως ἠξιώθης ἀπολαῦσαι τῆς διαδόχου Βασιλείας τῶν οὐρανῶν,

αἰτοῦσα εἰρήνην τῷ κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ὅτε τὸ ἀθέμιτον τυραννικὸν ἐγένετό σοι πρόσταγμα, τόν τε Χριστὸν καὶ τὸν νόμιμον σύνευνον ἀρνήσασθαι, σωφρονεστάτη Ἀργυρῆ, καὶ γάμον μιαρὸν συνάψαι καὶ τῇ πατρῴα πίστει ἀποταχθῆναι, καὶ βίᾳ πολλῇ σοι ἐπεφέρετο, ἀφορῶσα τὴν σῆς ψυχῆς σου ἀπώλειαν τότε πανεύφημε, ὥς τις ἀστὴρ φαεινὸς ἐξέλαμψας ἐν εἱρκτῇ τῇ ζοφερᾷ, ἀπιστίας ζόφον καὶ λαγνείας διώκουσα, καὶ φέγγος εὐσεβείας ἐν ταῖς καρδίαις τῶν πιστῶν ὑπανάπτουσα, καὶ τρανῶς ἐκβοῶσα· Θεὸς μέγας τυγχάνει ὁ σαρκὶ σταυρωθεὶς καὶ ἀναστὰς τριήμερος, ἐν ᾧ πάντες οἱ εὐσεβεῖς καυχώμεθα· ὅθεν καὶ ἐπαξίως ἀθλητικῷ στεφάνῳ στεφθεῖσα, πρέσβευε διηνεκῶς ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Σὺ ἀγαθὰ τὰ παρόντα σπουδῇ ἀντήλλαξας, πίστεως τοῦ Σωτῆρος, Ἀργυρῆ Ἀθληφόρε, καὶ ἔστερξας ἐκ πόθου οἰκεῖν καρτερῶς, τὸ δεινὸν δεσμωτήριον, καὶ γὰρ ὁ ἔνθεος πόθος τοῦ Ποιητοῦ, τὴν ἀγάπην τῶν κτισμάτων νικᾷ.

Στ.: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Μόνον τὴν ἔνθεον πίστιν Χριστοῦ ποθήσασα, καὶ τῆς Ὀρθοδοξίας, ἀληθείᾳ θελχθεῖσα, τοῦ σώματος τὸ

κάλλος ἐβδελύξω σεμνή, καὶ τὴν βίου τερπνότητα, καὶ ταῖς βασάνοις παρέδωκας σεαυτήν, Ἀργυρῆ θεομακάριστε.

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνε τὰ διαβήματά μου.*

Σὺ ἀληθὴς Ἀθληφόρος ταῖς θείαις πράξεσιν, ἐδείχθης τοῦ Κυρίου, Ἀργυρῆ ἐν τῷ κόσμῳ· δι᾽ ὃ καὶ οὐρανίου χαρᾶς ἐσαεί, καὶ Βασιλείας ἠξίωσαι, καθικετεύουσα τοῦτον ὑπὲρ ἡμῶν, τῶν τιμώντων σου τὰ λείψανα.

*Δόξα. Ἦχος β᾽.*

Ἡ μόλις γάμῳ ὁμιλήσασα γυνὴ τρυγερά, Ἀργυρῆ ἡ πανένδοξος, τὸ θρέμμα μὲν τῆς Προύσης, τοῦ Βυζαντίου δὲ τὸ καύχημα, ἴσχυσε τὴν ὑπερήφανον ὀφρὺν καταστρέψαι τοῦ ἀλα᾽στορος, τὴν εὐσέβειαν αὐτῆς βουλομένου μεταστρέψαι, καὶ τὴν ἐν γάμῳ μολύναι αὐτῆς παρθενίαν· ὅθεν τοῦτον νικήσασα, ἀνῆλθεν εἰς οὐρανοὺς μετὰ δόξης, ἔνθα νῦν πρεσβεύει τῷ ἀναστάντι Θεῷ, φυλάττειν ἐν εἰρήνῃ, τῶν Ὀρθοδόξων τὰ πλήθη, ἡμῖν δὲ τοῖς ἐν πίστει τιμῶσιν αὐτῆς τὸ χαριτόβρυτον σκῆνος, δωρήσασθαι ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ᾽. Ταχὺ προκατάλαβε.*

Τυράννους κατήσχυνας ἐν τοῖς βασάνοις σεμνή, δειχθεῖσα πολύαθλε ὥσπερ ἀδάμας στεῤῥός, Χριστοῦ

Μάρτυς ἔνδοξε, ἔδειξας ἐναθλοῦσα, πρὸς Χριστὸν τὸν Σωτῆρα, ἔρωτά τε καὶ ζῆλον, καὶ ἀκόρεστον πόθον· δι’ ὅ σε Ἀργυρῆ, αὐτὸς ἀξίως ἐδόξασε.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Ἀπόλυσις.*

**ΟΡΘΡΟΣ**

*Μετὰ τὴν α’ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α’. Τὸν τάφον Σου Σωτήρ.*

Ἀμνὰς ὡς λογική, τῷ ἀμνῷ καὶ ποιμένι, προήχθης εὐθαρσῶς, διὰ τοῦ μαρτυρίου, τὸν δρόμον τελέσασα, καὶ τὴν πίστιν τηρήσασα· ὅθεν σήμερον, μετὰ χαρᾶς προσκυνοῦμεν, Ἀργυρῆ σεμνή, τὸ χαριτόβρυτον ὄντως, καὶ ἔνδοξον σκῆνός σου.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Μετὰ τὴν β’ Στιχολογίαν.*

*Ἦχος πλ. α’. Τὸν συνάναρχον Λόγον.*

Ἀργυρῆς τῆς πανσέπτου ἀνευφημήσωμεν, τὰς βασάνους τοὺς ἄθλους καὶ τὰ παλαίσματα, ἃ ὑπέστης καρτερῶς διὰ τὸν Κύριον, καὶ καρδίᾳ καὶ ψυχῇ, πιστῶς βοήσωμεν αὐτῇ· πανθαύμαστε Ἀθληφόρε, ὡς εὐσεβείας τὸ δεῖγμα, ἡμῶν τὴν πίστιν λιταῖς σου στήριξον.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ’ ἤχου.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνε τὰ διαβήματά μου.*

Εὐαγγέλιον, κατὰ Λουκᾶν: *Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πᾶς ὃς ἂν ὁμολογήσῃ…*

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τῆς Ἀθληφόρου…*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου…*

Ἰδιόμελον. Ἦχος β’. Στ.: *Ἐλέησόν με ὁ Θεός…*

Ἱκετεύουσα Χριστόν, μὴ διαλίπῃς Ἀργυρῆ Ἀθληφόρε, ῥύσασθαι δεινῶν καὶ παντοίων πειρασμῶν, τοὺς σὲ γεραίροντας.

Εἶτα, οἱ Κανόνες· τῆς Ἑορτῆς, καὶ τῆς Ἁγίας.

*Ὠδὴ α’. Ἦχος δ’. Θαλάσσης τὸ Ἐρυθραῖον.*

Ταῖς θείαις τῶν Ἀθληφόρων τάξεσιν ἀγαλλομένη νῦν, ὦ Ἀθληφόρε θεία Ἀργυρῆ, καὶ Χριστοῦ ἀπολαύουσα, τῆς θεϊκῆς λαμπρότητος, τοὺς σὲ τιμῶντας καταλάμπρυνον.

Τὸ θῆλυ ὦ Ἀργυρῆ πανθαύμαστε, ἀῤῥενωθὲν τὴν ὀφρύν, τοῦ καυχωμένου πρώην ἀναιδῶς, καταστρέψαι εὐσέβειαν, τῇ ἀσθενείᾳ σώματος, καὶ σθένει θείῳ καταβέβληκε.

Σταυρῷ σε ἀνυψωθέντα Κύριε, καλῶς πιστεύουσα, τῶν αἰκισμῶν ἡ Μάρτυς Ἀργυρῆ, ὑπομένει τὴν

βάσανον, τῇ παναλκεῖ δυνάμει Σου· δι᾽ ἧς βροτοὶ ἐνευρώθησαν.

*Θεοτοκίον.*

Σαφῶς Σε τῆς τοῦ Θεοῦ σαρκώσεως νυμφώνα Ἄχραντε, καὶ λογικὸν γινώσκων καὶ φαιδρόν, ἱκετεύω ῥυσθῆναί με, νόσων ψυχῆς καὶ σώματος, καὶ πειρασμῶν καὶ περιστάσεων.

*Ὠδὴ γ᾽. Εὐφραίνεται ἐπὶ Σοί.*

Λαμπρύναντος σὴν ψυχὴν τοῦ θείου ἔρωτος σεμνή, βάσανον τῆς σαρκὸς ἠλόγησας, καὶ τοὺς αἰκισμοὺς κατεφρόνησας.

Ἰσχύϊ τοῦ παντουργοῦ, τὴν τοῦ ἀλάστορος ὀφρὺν ἔῤῥιψας, καὶ ὡς κόνιν πάντα συντρίψασα, τὰ ὀστᾶ αὐτοῦ διεσκόρπισας.

Αἱμάτων σου αἱ ὁραῖς, πῦρ ἀπιστίας Ἀργυρῆ ἔσβεσαν, τοὺς ἀσεβεῖς δὲ ἅπαντας ἤρδευσαν, τῆς πίστεως νάμασιν.

*Θεοτοκίον.*

Ἐμοῦ ἁγνὴ τοῦ οἰκτροῦ, ἁμαρτωλότερος οὐδεὶς ἐπὶ γῆς· ὅθεν βοῶ Σοι Δέσποινα, ἵλεως γενοῦ μοι καὶ σῶσόν με.

*Κάθισμα. Ἦχος α᾽. Τὸν τάφον Σου Σωτήρ.*

Ἀνδρείᾳ τὴν ψυχήν, Ἀργυρῆ ὡπλισμένη, παρέδωκας σαυτήν, εἰς παντοίας βασάνους, τῷ πόθῳ τοῦ Κτίστου σου, φλεγομένη καὶ ἔρωτι· ὅθεν ἤλεγξας,

τὴν τοῦ τυράννου μανίαν, καὶ διάδημα, παρὰ Χριστοὺ ἐκομίσω, τῆς νίκης λαμπρότατον.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*ᾨδὴ δ᾽. Ἐπαρθέντα σε ἰδοῦσα.*

Τοῦ παντάνακτος τῷ πόθῳ ἡ σὺ καρδία, πυρπολουμένη ἄναθρακας Ἀργυρῆ τῆς πλάνης, σὴ ῥοὴ ἀπέσβεσεν αἱμάτων, καὶ θάλασσαν ἀπιστίας πάσης ἐξήρανε.

Τοῦ τὴν πρώτην ἀπατήσαντα πάλαι Εὔαν, ἀθλητικαῖς ἐνστάσεσιν Ἀργυρῆ καθεῖλες, πάσας τὰς μεθοδείας τε αὐτοῦ καὶ σοφίσματα, ὅλως ἀσθενῆ ἀποδείξασα.

Ἀργυρῆ μεγαλομάρτυς, σὺ παρ᾽ ἀπίστων ὡς ἐκ θηρῶν ἀγρίων κατασπαραχθεῖσα, ἄμωμον ἐτήρησας, Θεῷ δὲ προσήνεγκας, ἱερὸν σαυτὴν καλλιέργημα.

*Θεοτοκίον.*

Ῥυπωθέντα με κηλῖσι τῆς ἁμαρτίας, ταῖς δραστικαῖς πρεσβείαις σου, ῥάντισον ὑσσώπῳ, καὶ τοῦ μολυσμοῦ τῶν παθῶν καθάρισον ἄχραντε, καὶ δεῖξον πολίτην οὐράνιον.

*ᾨδὴ ε᾽. Σὺ Κύριέ μου φῶς.*

Τοὺς μύθους ἀσεβῶν, εὐσεβῶς σὺ διήλεγξας, μειώσασα πλάνην τούτων, Ἀργυρῆ Ἀθληφόρε, τὸ κλέος καὶ κραταίωμα.

Ἐρύθημα βαφαῖς τῶν αἱμάτων τελέσασα, τὸ πρότερον τῆς ἁγνείας Ἀργυρῆ σαυτήν, εἶτα Θεῷ οὕτω προσήνεγκας.

Τῷ κάλλει Σου Σωτήρ, Ἀργυρῆ ἡ πανεύφημος, παρέδραμε τετρωμένη, τὰ τοῦ κόσμου ἡδέα, ἐν Σοὶ μόνον ἐμβλέπουσα.

*Θεοτοκίον.*

Ἄνθρωπον πρὸς φθορὰν ἀνεκτήσω τὸν ῥεύσαντα διὰ τοῦ θείου Υἱοῦ Σου, καὶ τὴν πρὶν ἀφθαρσίαν ἐνέδυσας πανάσπιλε.

*ᾨδὴ στ΄. θύσω σοι μετὰ φωνῆς.*

Σωτῆρα τὸν ἀθάνατον, τὸν μόνον ποθήσασα, τοῦ ὁρωμένου θανάτου ενυρουμένη σθένει ἐπουρανίῳ, ἡ θεόφρων ἀνδρικῶς Ἀργυρῆ, οὐκ ἐδειλίασεν.

Ἰδεῖν Σου Βασιλεῦ τῶν αἰώνων πανάγιε, τὸ ἀπαράμιλλον κάλλος, τετρωμένη ἔρωτι τῷ ἐνθέῳ, τῶν βασάνων τὴν πικρίαν, ἡ Ἀργυρῆ καθυπέμεινε.

Φρόνημα ἀνδρικὸν πρὸς τὴν πάλην ἀνέλαβες, ὦ Ἀργυρῆ θεοφόρε, καὶ εἰσῆλθες μέεσου τῶν τυραννούντων, καὶ τῷ ξίφει τῆς εὐσεβείας, αὐτοὺς ἐθανάτωσας.

*Θεοτοκίον.*

Φώτισον τὴν ψυχήν μου Μαρία πανάχραντε, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, μητρικαῖς πρεσβείαις Σου, πάσης νόσου ἀνιάτου, καὶ τοῦ σκότους τῶν πταισμάτων, τὸν δοῦλόν Σου.

*Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνη σήμερον.*

Ὡς σελήνη πάμφωτος, ἔλαμψας κόσμῳ, ἐφαπλοῦσα τῶν πόνων σου, μαρμαρυγὰς ὦ Ἀργυρῆ, καὶ ἰαμάτων τοῖς κράζουσι· Χαίροις Μαρτύρων, τὸ κλέος καὶ καύχημα.

*Ὁ Οἶκος.*

Ἱερωτάτην καὶ θείαν ἐν πίστει συγκροτοῦμεν πανήγυριν, ἅπαντες οἱ πιστοὶ φιλομάρτυρες, σοῦ τῆς ὑπὲρ ἀργύριον καὶ χρυσίον λαμπροτέρας πανευκλεοῦς Ἀθληφότου Νεομάρτυρος Ἀργυρῆς, ἐπιτελοῦντες τὴν παμφαεστάτην καὶ ἔνδοξόν σου μνήμην γεραίροντες χαρμονικῶς, τὰ ὑπὲρ ἄνθρωπον παλαίσματα, τὰς ἀριστείας καὶ τοὺς πόνους οὓς ὑπέστης, τοῦ διατηρῆσαι τήν τε ἐν γάμῳ παρθενίαν, καὶ τὴν ἀληθῆ πίστιν τοῦ οὐρανίου παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ ἀμόλυντα, καὶ αἰτούμενοι τυχεῖν, ταῖς ἱεραῖς σου καὶ ἐνθέρμοις πρὸς Αὐτὸν δεήσεσι, τῆς οὐρανίου ἐκείνης μακαριότητος, ἔνθα οἱ χοροὶ ἀγάλλονται τῶν βοώντων· Χαίροις Μαρτύρων, τὸ κλέος καὶ καύχημα.

*Συναξάριον.*

*Τῇ Λ' τοῦ αὐτοῦ Μηνός, ἀνάμνησις τῆς ἀνακομιδῆ τῶν Λειψάνων τῆς Ἁγίας Νεομάρτυρος Ἀργυρῆς*

*Ἡ Ἀργυρῆ δὴ τοῖς φυλακῆς βασάνοις,*
*ὑπὲρ τὸ ἀργύριον ἡμᾶς φαιδρύνει.*
*Μαρτυρικὸν λάβεν Ἀργυρῆ στέφανον ἐν τριακάδι*

*ᾨδὴ ζ'. Ἐν τῇ καμίνῳ.*

Σὺν Ἀθληφόροις ἐν οὐρανίοις, ἔνδοξε Ἀργυρῆ, πέλεις αἰκισμοὺς καὶ μάστιγας καρτερῶς, ἐν τῷ ψάλλειν ὑπομείνασα· εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης Σου Κύριε.

Οὐ δειλιῶσα ὦ Ἀργυρῆ, σὺ μᾶλλον καρτερικῶς ἤχθης πρὸς δεινὰς βασάνους, ἀναψυχὴν αἰσθομένη καὶ κραυγάζουσα· εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης Σου Κύριε.

Λελαμπρυσμένη θεαρχικῶς, ἀκτῖσιν ὅλον τὸν νοῦν, πᾶσαν τὴν ἀχλὺν ἠμαύρωσας Ἀργυρῆ, τῶν τυράννων, καὶ κατέπληξας αὐτοὺς τοῖς θαύμασιν, ἅπερ ἐν εἱρκτῇ ἐξετέλεσας.

*Θεοτοκίον.*

Ἐν τῇ γαστρί Σου κατασκηνώσας Κόρη, ὁ Βασιλεὺς πάντων τῶν αἰώνων, ἔδειξεν οὐρανῶν πλατυτέραν καὶ ἄμαχον, τῶν ἀνυμνούντων Σε προστασίαν καὶ σκέπην, καὶ τεῖχος ἀκράδαντον.

*ᾨδὴ η'. Λυτρωτὰ τοῦ παντός.*

Τυραννήσασα πόθῳ τοῦ Κτίστου σου Ἀργυρῆ, τὸ σὸν σῶμα ἀπήμβλυνας, ἐν γυναικείῳ σώματι, κέντρα τυραννούντων, ἄθλους τοὺς θείους ὑποστᾶσα ἀνδρείως φερώνυμε.

Ἐν εἱρκτῇ καθειρχθεῖσα πανεύφημε Ἀργυρῆ, παραλόγως τοὺς ἄφρονας ἐχθρούς, στεῤῥῶς κατέπληξας τῇ ὑπομονῇ σου, ἀναβοῶσα· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Οὐρανῶν Βασιλείας ἀπήλαυσας σὺν Χριστῷ, Ἀργυρῆ βασιλεύουσα, κεκοσμημένη στίγμασι, καὶ δεινῶν τῷ κάλλει, πίστει βοῶσα· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

*Θεοτοκίον.*

Ἰσχυρόν μου Σὺ εἶ τὸ κραταίωμα, οὐ πτοοῦμαι διὰ τοὺς φθονοῦντάς με, ἀλλ᾽ ἀνυμνῶ Σε Δέσποινα, καὶ βοῶ τῷ Σῷ τόκῳ· πάντα τὰ ἔργα εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

*ᾨδὴ θ᾽. Λίθος ἀχειρότμητος.*

Ὤφθης τυραννούντων ἐν μέσῳ, ὡσανεὶ παμφάγων λύκων, Μάρτυς Ἀργυρῆ, τὴν ἐκείνων μανίαν ὄντως καταπαλαίουσα, καὶ τῷ Σωτῆρι ἔνθεον δῶρον σαὐτὴν προσενέγκασα.

Οὗπερ ἠξιώθης ὁμίλου, ἧσπερ ἀπήλαυσας νῦν δόξης, ὦ Ἀργυρῆ, τοὺς τελοῦντας τὴν παναγίαν σου μνήμην, πρέσβευε ἐπιτυχεῖν, ὡς ἔχουσα τὴν παῤῥησίαν πρὸς τὸν Κύριον.

Σὺ νῦν ἐν σκηναῖς οὐρανίοις ὦ Ἀργυρῆ, κατατρυφῶσα καὶ ταῖς τοῦ πανσέπτου Σωτῆρος φωτιζομένη ἀεὶ λαμπρότητι, τοὺς σὲ ὑμνοῦντας φώτισον, καὶ τῶν κινδύνων ἐλευθέρωσον.

*Θεοτοκίον.*

Μόνος ὑπερέβην ὁ τάλας, ὑπερβαλλόντως Νινευΐτας ἐν ταῖς ἁμαρτίαις, καὶ ὤφθην τῆς ὑφηλίου ἄχθος βαρύτατον, ἀλλὰ Σὺ μόνη πάναγνε, Σαῖς ἱκεσίαις με διάσωσον.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Φρικτὸν ἰδόντες θέαμα, οἱ τύραννοι ἐξέστησαν, ἣν γὰρ ἐνόμιζον εἶναι, γυναῖκα ἀσθενεστάτην, ὁρῶντες ὑπομένουσαν, καρτερικῶς τὰς βασάνους, ὑπὸ τὸν φόβον ἔκραζον· τῆς Ἀργυρῆς Θεὸς μέγας, ὁ ταύτῃ ἰσχὺν δωρήσας.

*Καὶ τὸ τῆς Ἑορτῆς.*

*Αἶνοι. Ἦχος δ'. Τῶν οὐρανίων ταγμάτων.*

Πολυειδεῖς ὁ πανοῦργος ἐχθρός σου ἤγειρε, τοὺς πειρασμοὺς καὶ πάθη, ἀλλὰ κάραν τὴν τούτου, συνέτριψας πανθαύμαστε Ἀργυρῆ, τῇ ἀνδρικῇ καρτερίᾳ σου· διὸ χορῷ σε γυναίων τῶν ἱερῶν, συνηρίθμησεν ὁ Πλάστης σου. *(Δίς)*

Τοῦ ὁρωμένου θανάτου σὺ κατεφρόνησας, ὑπὲρ τοῦ ἀοράτου, Ἀργυρῆ σου Σωτῆρος, καὶ πάσας τὰς βάσανους ὑπέστης στεῤῥῶς, καὶ τὸν βίαιον θάνατον· καὶ διὰ τοῦτο ἐστέφθης χειρὶ Αὐτοῦ, θείοις στέμμασιν ἀθλήσεως. *(Δίς)*

*Δόξα. Ἦχος πλ. α'.*

Δεῦτε φιλομάρτυρες πάντες, τὴν Χριστοῦ παρθενομάρτυρα Ἀργυρῆν, συνελθόντες εὐφημήσωμεν. Σήμερον γάρ, τὸν στέφανον τῆς ἀθλήσεως, παρ' Αὐτοῦ, νομίμως ἀθλήσασα, ἀπείληφε. Τὸν ὑπερήφανον ὄφιν, τῇ δυνάμει τοῦ Σταυροῦ, τῇ εἱρκτῇ κατασυντρίψασα, τὴν ὀρθόδοξον πίστιν, ῥωμαλαίαις φρεσίν, ὑπὲρ ἥλιον φαιδρύνασα. Συγχάρητε οὖν, Ἀγγέλων τὰ τάγματα, καὶ Μαρτύρων

οἱ δῆμοι, ἅμα σὺν ἡμῖν τοῖς ἐπὶ γῆς, πανυγυρίζοντες καὶ δοξάζοντες αὐτήν, τὴν τὸ ἀθλητικώτατον αὐτῆς σκῆνος, τῇ γῇ δωρησαμένην, ἰατρεῖον παθῶν ψυχικῶν, καὶ δεινῶν περιστάσεων.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Ἄστρον ἀνατέταλκε φαεινόν, ἐκ τῆς Βιθυνίας, ἡ πολύαθλος τοῦ Χριστοῦ, Μάρτυς καὶ φωτίζει, πιστῶν ἅπαν τὸ πλῆθος, τὴν Ἀργυρῆν τὴν ἔνδοξον μεγαλύνομεν.

